A Πολέμια καὶ σέ. Με. τοῦτ' ἐκεῖν', ἥκει πάλιν
Ὅθενπερ ἀρχὰ τῶν κακῶν ἁμὶν ἔφυ.
Συ. Κλάων Μεγαρεῖς. οὐκ ἀφήσεις τὸν σάκον;
Με. Δικαιόπολι, Δικαιόπολι φαντάζομαι.
Δι. Ὑπὸ τοῦ; τίς ὁ φαίνων σ' ἐστίν; Με. οἱ δ' ἀγορανόμοι.
B Δι. Τοὺς συκοφάντας οὐ θύραζ' ἐξείρξετε;
Τί μαθὼν φανεῖς ἄνευ θρυαλλίδος;
Συ. Οὐ γὰρ φανῶ τοὺς πολεμίους; Δι. κλάων γε σύ
Εἰ μὴ 'τέρωσε συκοφαντήσεις ἰών.
Με. Οἷον τὸ κακὸν ἐν ταῖς Ἀθήναις τοῦτ' ἔνι.
Δι. Θάρρει Μεγαρίκ', ἀλλ' ἧς τὰ χοιρίδι' ἀπέδου
Τιμῆς, λαβὲ ταυτὶ τὰ σκόροδα καὶ τοὺς ἅλας.
C Καὶ χαῖρε πολλά γ'. Με. ἀλλ' ἁμὶν οὐκ ἐπιχώριον. (ἐμοί.
Δι. Πολυπραγμοσύνης νυν, ἐς κεφαλὴν τρέποιτ'
Με. Ὦ χοιρίδια πειρῆσθε κἄνις τῶ πατρὸς
Παίειν ἐφ' ἁλὶ τὰν μᾶδδαν, αἴκα τις διδῷ.

*Cum porculis, quasi hostes. ME. hoc illud: redit*
*Eodem: vnde & prima mali labes extitit.*
SY. *Male Megarissabis: non mittes acculum?*
*ME. Dicæopoli, Dicæopoli, accusor miser.*
DI. *A quo? quis ille quadruplator? ME. heus præsides*
*Fori. DI. cur Sycophantas non expelitis*
*Forâs? quid tu quadruplare sine funalibus?*
SY. *Non deferam hostes? DI. malemultaberis: nisi*
*Abeas, & tua negotia alibi exerceas.*
*ME. Quale hoc in vrbe Atheniensium malū'st?*
*DI. Bono animo es Megarice: & qui pretio porcalas*
*Mihi vendidisti, hoc cape, sales & alia.*
*Vale multū. ME. hoc nostræ nō fert nos patriæ.*
DI. *Vah curiositas hæc, in meum caput*
*Illud vale redundet. ME. ô meæ porculæ*
*Nunc intus solicitamini etiam sine patre,*
*Vt panem cum sale edatis, siquis det nodo.*

Σχόλια. Ἐγὼ φανῶ.] ἀποδείξω. ἔστι δὲ φάσις ὄνομα δίκης οὕτω καλουμένης. Ὅθενπερ ἀρχά.] ἐκ τοῦ συκοφαντεῖν δηλονότι. Κλάων Μεγαρεῖς.] ἐπὶ τῇ Μεγαρέων ἐχρήσατο φωνῇ, ἀντὶ τοῦ λιμώξεις, ἢ εἰς Μέγαρα ἀπελεύσῃ. ἢ τὰ Μεγαρέων φρονήσεις. ἢ τῇ Μεγαρέων διαλέκτῳ χρήσῃ. Οὐκ ἀφήσεις τὸν σάκον.] σάκος νῦν δι' ἑνὸς κ. ἀνωτέρω γὰρ, διὰ δύο. Φαντάζομαι.] ἀντὶ τοῦ συκοφαντοῦμαι. καλεῖ δὲ τὸν Δικαιόπολιν πρὸς τὸ συμμαχῆσαι αὐτῷ. Φανεῖς ἄνευ] πρὸς τὴν ὁμωνυμίαν παίζει. Εἰ μὴ 'τέρωσε.] εἰ μὴ ἀλλαχοῦ ἀπελθὼν ἑτέρως συκοφαντήσεις. Οἷον τὸ κακόν.] τὸ τῶν συκοφαντῶν. διαβάλλει οὖν τοὺς Ἀθηναίους ὡς πολλοὺς συκοφάντας ἔχοντας. Ἀλλ' ἁμὶν οὐκ ἐπιχώριον.] τὸ χαίρειν διὰ τὰ κατέχοντα ἡμᾶς

D κακά. Πολυπραγμοσύνης.] ὅτι προπετῶς ἐφθέγξατο μὲν τὸ χαίρειν, εἰς κεφαλὴν μου τραπείη. λείπει γὰρ τὸ ἕνεκα. ἕνεκα τῆς πολυπραγμοσύνης. ὁ δὲ λόγος, ἀλλὰ τὸ χαίρειν ἔλθοι εἰς τὴν κεφαλήν μου. ὅτι πολυπραγμονῶ εἰπὼν σοι χαίρειν. οὕτω γὰρ ἔλεγον οἱ Ἀττικοὶ ἐπὶ κατηγορίᾳ τινὸς, εἰς κεφαλὴν τρέποιτο. τοῦτο γὰρ ἐπὶ κακῶν λέγοντες. ἐπεὶ γὰρ ὁ Μεγαρεὺς λέγει οὐκ εἶναι αὐτοῖς ἐπιχώριον τὸ χαίρειν, φησὶν ὁ Ἀττικὸς διὰ τὴν πολυπραγμοσύνην εἰς τὴν ἐμὴν κεφαλὴν τρέποιτο τὸ χαίρειν. ἀντὶ τοῦ ὅτι πολυπράγμων εἰμὶ, εἰπών σοι μὴ βουλομένῳ τὸ χαίρειν, γένοιτο τοῦτο εἰς τὴν ἐμὴν κεφαλὴν τραπῆναι. ἀστείως δὲ παίζει. κἄννις δὲ ἀντὶ τοῦ καὶ χωρίς. Παίειν ἐφ' ἁλὶ τὰν μᾶδδαν.] ἐσθίειν μετὰ τῶν ἁλῶν τὸν ἄρτον διὰ τὸ ἀπορεῖν προσφαγίου.

E

ΣΤΡΟΦΗ κώλων κδ'.

STROPHE.

Χο. Εὐδαιμονεῖ γ' ἄνθρωπος. οὐκ ἤκουσας οἷ προβαίνει
Τὸ πρᾶγμα τοῦ βουλεύματος; καρπώσεται γὰρ ἁνὴρ
F Ἐν τῇ 'γορᾷ καθήμενος.
Κἂν εἰσίῃ τις Κτησίας,
Ἢ συκοφάντης ἄλλος, οἰμώζων καθεδεῖται.
Οὐδ' ἄλλος ἀνθρώπων ὑποψωνῶν σε πημανεῖται.
Οὐδ' ἐξομόρξεται Πρέπις τὴν εὐρυπρωκτίαν σοι.

CH. *Beatus hic homo'st: non audisti quorsum institutum*
*Euadat hoc negocium? fructum iste consequetur*
*Vir, in foro qui considet:*
*Et si quis intret Ctesias,*
*Aut Sycophanta reprobus,*
*Mœrens residebit:*
*Nec quisquam alius opsonando damnum tibi inferet: nec*
*Tibi insculpet suam Prepis Cinediam nefandam,*

Σχόλια. Εὐδαιμονεῖ γ' ἄνθρωπος.] ἐξελθόντων τῶν ὑποκειτῶν καὶ μένοντος τοῦ χοροῦ, μονοστροφικὸν περίοδον ἑξάκωλον δ'. ὧν ἡγοῦνται στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ δύο. μεθ' οὓς κῶλα δίμετρα ἀκατάληκτα. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἑξῆς τειῶν περιόδων. καὶ αἱ μὲν πρῶται παραγράφῳ, ἡ δὲ τελευταία κορωνίδι σημειοῦται. Ἐν τῇ 'γορᾷ καθήμενος.] ἔν τισιν εὑρέθη, ἐν τ' ἀγορᾷ καθήμενος, μόνους τοὺς καρποὺς

G ἐξοίσεται. Κτησίας.] οὗτος ὡς συκοφάντης διαβάλλεται. Ὑποψωνῶν σε.] παρακλέπτων. ὅτι ὀψώνια κακουργῶν βλάψει. διότι αὐτὸς μόνος συναλλάττει τὰς ἀγοράς. ἄλλως. προστιθεὶς τῇ ὀψωνίᾳ. εἰσὶ γὰρ πολλοὶ διὰ μικρᾶς προσθήκης ὠνούμενοι. πημανεῖται δὲ βλάψει. λυπήσει ὦ Δικαιόπολι. Ἐξομόρξεται.] ἐναποψήσεται ἐναπομάξει. ὡς καταπύγων δὲ κωμῳδεῖται ὁ Πρέπις. ἀντὶ τοῦ οὐκ ἀνέξῃ τῆς κιναιδείας Πρέπιδος.